ὁρατοὶ δὲ ἐναντίον αὐτοῦ,
27 ὅτι ἐξέκλιναν ἐκ νόμου θεοῦ,
δικαιώματα δὲ αὐτοῦ οὐκ ἐπέγνωσαν
28 ※τοῦ ἐπαγαγεῖν ἐπ᾽ αὐτὸν κραυγὴν πένητος,
※καὶ κραυγὴν πτωχῶν εἰσακούσεται.
29 ※καὶ αὐτὸς ἡσυχίαν παρέξει, καὶ τίς καταδικάσεται;
※καὶ κρύψει πρόσωπον, καὶ τίς ὄψεται αὐτόν;
※καὶ κατὰ ἔθνους καὶ κατὰ ἀνθρώπου ὁμοῦ
30 ※βασιλεύων ἄνθρωπον ὑποκριτὴν ἀπὸ δυσκολίας λαοῦ.
31 ※ὅτι πρὸς τὸν ἰσχυρὸν ὁ λέγων Εἴληφα, οὐκ ἐνεχυράσω·
32 ※ἄνευ ἐμαυτοῦ ὄψομαι, σὺ δεῖξόν μοι·
※εἰ ἀδικίαν ἠργασάμην, οὐ μὴ προσθήσω.
33 ※μὴ παρὰ σοῦ ἀποτείσει αὐτήν;
※ὅτι ἀπώσῃ, ὅτι σὺ ἐκλέξῃ καὶ οὐκ ἐγώ·
※καὶ τί ἔγνως λάλησον.⸔
34 διὸ συνετοὶ καρδίας ἐροῦσιν ταῦτα,
ἀνὴρ δὲ σοφὸς ἀκήκοέν μου τὸ ῥῆμα.
35 Ιωβ δὲ οὐκ ἐν συνέσει ἐλάλησεν,
τὰ δὲ ῥήματα αὐτοῦ οὐκ ἐν ἐπιστήμῃ.
36 οὐ μὴν δὲ ἀλλὰ μάθε, Ιωβ,
μὴ δῷς ἔτι ἀνταπόκρισιν ὥσπερ οἱ ἄφρονες,
37 ἵνα μὴ προσθῶμεν ἐφ᾽ ἁμαρτίαις ἡμῶν,
ἀνομία δὲ ἐφ᾽ ἡμῖν λογισθήσεται
πολλὰ λαλούντων ῥήματα ἐναντίον τοῦ κυρίου.

35 1 Ὑπολαβὼν δὲ Ελιους λέγει
2 Τί τοῦτο ἡγήσω ἐν κρίσει;
σὺ τίς εἶ ὅτι εἶπας Δίκαιός εἰμι ἔναντι κυρίου;
3 ἢ ἐρεῖς Τί ποιήσω ἁμαρτών;
4 ἐγὼ σοὶ δώσω ἀπόκρισιν
καὶ τοῖς τρισὶν φίλοις σου.
5 ἀνάβλεψον εἰς τὸν οὐρανὸν καὶ ἰδέ,
κατάμαθε δὲ νέφη ὡς ὑψηλὰ ἀπὸ σοῦ.

26$^2$] και(cf. 3 12) ορατοι εγενοντο εναντι(ον) των εχ(uel κ)θρων AV†: cf. *O* εναντιον ÷των εχθρων⸔ αυτου || 28$^1$ πενητων BS*† || 29$^1$ παρεξεται C pl. || 31 ο λεγων > S*† | ενεχυρασα AV† || 32$^1$ οψομαι > S*† | δειξον] pr. δε V†, διδαξον A† | μοι] με AV† | 32$^2$ ηργασαμην B*S*AV] ειργ. B$^c$S$^c$ pl.: cf. 24 6 | προσθω AV† || 33$^1$ παρα] απο B† | 33$^2$ απωσω A | εκδεξη S† || 34$^1$ καρδια AS$^c$V | 34$^2$ σοφος] φρονιμος A† || 35$^1$ δε > AV† | ελαλησας A V† | 35$^2$ δε > BS*† | αυτου] σου AV† || 36$^1$ δε > S*† | 36$^2$ ανταποκρ.] αντ > AV†: cf. 13 22 || 37$^1$ αμαρτιας B | 37$^2$ λογισθ.] εστε(pro -ται) AV† | 37$^3$ λαλουσιν AV† | εναντι AV† | του > A

35 3 > BS*† || 4$^1$ εγω] + δε S$^c$ pl. | σοι > S*† | 4$^2$ φιλοις σου] tr. A || 5$^2$ δε > A | νεφη] τα νεφη και ιδε AV†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/333 UNIVERSITÄT LEIPZIG